Ακαδημία Αθηνών / Academy of Athens

619

Ρg 46
7 Ἰουν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Αἰδεσιμώτατε Πάτερ!

Πῶς ἂν εὕροιμι λόγους εὐχαριστηρίους καὶ ἱκετευτικοὺς πρὸς τὴν ὑμετέραν εὐνοϊκωτάτην Αἰδεσιμότητα; εὐχαριστηρίους μέν, ἐφ' οἷς ἐτίμησέ με δώροις πολυτελέσι καὶ πολυτίμοις· ἱκετευτικοὺς δὲ τῆς ποθουμένης συγγνώμης ὑπὲρ τῆς μακρᾶς μου ταύτης σιωπῆς. Ἐμοὶ μέντοι ἴστω, ἐγνωκότι τὰ ὄντα, σχεδὸν εἶναι δοκεῖ ἀχαρίστου λήθης τεκμήριον. Ἀλλὰ δι' ὧν ἐφανέρωσα φιλίας τῷ ὑμετέρῳ προσηνεστάτῳ μοι καὶ φιλτάτῳ υἱῷ ἐλπίζω, ὅτι ἡ Σὴ ἀγαθότης γενήσεταί μοι ἵλεως καὶ παραμυθία, ἀποτίνοντι ἤδη καὶ τὴν ποινὴν ἐν τῇ ἐλεγχούσῃ με συνειδήσει. Εὐχαριστῶ οὖν ὑμῖν μεγάλα καὶ ἐγκαρδίως· εὔχομαι δὲ λαβεῖν καιρὸν ἁρμόττοντα, ἵνα δείξω ἐμαυτὸν τῇ ὑμετέρᾳ Αἰδεσιμότητι θεράποντα πρόθυμον καὶ πιστόν, ὅπου ἂν ὑμῖν χρῇ. Νεανίσκος μὲν ὤν, ἠξιώθην ἰδεῖν τὴν ἱερὰν καὶ πατρικὴν ὑμῶν Κεφαλὴν ἐν τῇ οἰκίᾳ τοῦ Πανιερωτάτου πρώην Δαλματίας· ἔμαθόν τε αἰδεῖσθαι ὑμᾶς ἔκτοτε σεβάσμιον Πατέρα τῆς ἁγίας ἡμῶν Ἐκκλησίας· αὐξηνθεὶς δέ, τεθαύμακα ἐν ὑμῖν ἄνδρα λόγιον καὶ σοφώτατον καὶ ἀγλάϊσμα τῆς Πατρίδος. Ἴδοιμεν ὑμᾶς ἐν τάχει καὶ ἀπολαύσοιμεν!

Τὴν ὑμετέραν δεξιὰν εὐλαβῶς ἀσπάζονται ὅ,τε ὁ αὐτάδελφός μου, καὶ ἡ οἰκογένειά μου, καὶ ἡ εὐγενεστάτη κυρία Νονή. Ἡ δὲ ὑμετέρα Αἰδεσιμότης ἐρρωμένως καὶ εὐδαιμόνως διαβιοίη, παρέχουσα ἡμῖν τὴν πατρικὴν αὐτῆς εὐλογίαν, καὶ συγγινώσκουσα τὸ παντάπασιν ἄχαρι γράφω καὶ ἀκαλλώπιστα.

Τῆς ὑμετέρας Αἰδεσιμότητος

Ἐνετίῃσιν, τῇ 7/19 Ἰουνίου, 1846

Φίλος καὶ θεράπων εἰλικρινέστατος

Ἰω. Βελούδης.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Πρὸς τὸν αἰδεσιμώτατον καὶ εὐκλεέστατον πρεσβύτερον καὶ Οἰκονόμον τοῦ Πατριαρχικοῦ Θρόνου κύριον

κύριον Κωνσταντῖνον τὸν ἐξ Οἰκονόμων